# Veterum scriptorum de Demosthene iudicia.

Collegit et disposuit Gustavus Simchen, Dr. phil.

## Pars prima. Sermonis virtutes et vitia.

### *A.* Testimonia scriptorum Graecorum.

(E programmate a. MCMIX continuatum.)

*μέτρον:* **135.** Dion. Hal. Dem. c. 50: *οὐ γὰρ ἔστι λέξις οὐδεμία Δημοσθένους ἥτις οὐκ ἐμπεριείληφε ῥυθμοὺς καὶ μέτρα, τὰ μὲν ἀπηρτισμένα καὶ τέλεια, τὰ δ' ἀτελῆ, τοιαύτην ἐπιπλοκὴν ἔχοντα ἐν ἀλλήλοις καὶ οὕτως συνηρμοσμένα, ὥστε μὴ δῆλον εἶναι, ὅτι ἐστὶ μέτρα.* — **136.** Longinus prol. in Hephaestionis ench. 3 (p. 82 Consbr.): *εὕροι γοῦν ἄν τις παρὰ Δημοσθένει τῷ ῥήτορι στίχον ἡρωϊκὸν κεκρυμμένον, ὃς ἐδυνήθη λαθεῖν διὰ τὸ πεζὴν οὖσαν τὴν προφορὰν συναρπάσαι τῷ λόγῳ τὴν ἀκοήν· φησὶ γοῦν·*

*Τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν*
*ἦλθε Φίλιππος*

*στίχος ἐστὶν ἡρῷος· ἀλλὰ μὴν καὶ Ἰωνικόν, ὅταν λέγῃ*

*Πολλῶν δὲ λογῶν καὶ θορύβου γιγνομένου παρ' ὑμῖν.* — **137.** Choeroboscus in Heph. ench. (82), p. 178 Consbr.: *ὅθεν καὶ παρὰ Δημοσθένει, ἐστὶν εὑρεῖν μέτρα, ἰάμβους μὲν συνεχῶς οἷον·*

*δῆλον γὰρ ἔστι τοῖς Ὀλυνθίοις ὅτι·*
*ἀλλὰ καὶ ἡρωϊκὸν στίχον οἷον·*
*τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν·*
*ἀλλὰ καὶ ἰωνικὸν ἀπὸ μείζονος παρὰ τῷ αὐτῷ·*
*πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ὑμῖν.* — **137*a*.** App. rhetor. ad Heph. p. 338 Consbr.: *οἱ τετρασύλλαβοι· ἰστέον δὲ ὅτι τούτοις οἱ μετρικοὶ οὐ χρῶνται, ἀλλ' οἱ καταλογάδην γράψαντες, Δημοσθένης, Γρηγόριος ὁ θεολόγος καὶ οἱ λοιποὶ ῥήτορες.* — **138.** Lucianus Dem. enc. 8: *πολλάκις δὲ μετὰ τοῦ Δημοσθένους καὶ μέτρα κώλων καὶ ῥυθμοὶ καὶ βάσεις οὐκ ἔξω τῆς ποιητικῆς ἡδονῆς ἐκβιβάζουσιν.* — **139.** Syrianus I, p. 29 *R.*: *πολλοὺς γοῦν παρὰ τῷ Ἰσοκράτει καὶ μάλιστα παρὰ Δημοσθένει λανθάνοντας ἰάμβους τε καὶ χωλιάμβους ἔστιν εὑρεῖν διὰ τὴν ἐναρμόνιον συνθήκην τῶν λέξεων.* — **140.** Anon. *Σχολ. εἰς ἰδ.* VII, p. 934 *W.*: *πολλὰ διὰ τοῦτο τῶν μέτρων συμβέβηκεν ἀποκρύπτεσθαι ἐν τῇ κατὰ πεζὸν ῥήσει, ὡς παρὰ Δημοσθένει· τὸν γὰρ . . . Ἐλάτειαν* (cf. 137) *στίχος ἐστίν, ὃς ἠδυνήθη λαθεῖν διὰ τὸ πεζῆς οὔσης τῆς προφορᾶς συνηρπάσθαι τῷ λόγῳ τὴν ἀκοήν.* — **141.** Anon. *Σχολ. εἰς ἰδ.* VII, p. 1046 *W.*: *ὥστε ἰαμβόκροτά τε εἶναί τινα πολλὰ καὶ ἐφθημιμερῆ καὶ ἀκροτελεύτια ἅπερ παρά τε Ἰσοκράτει καὶ Δημοσθένει φαίνονται πάμπολλα τοῖς ἀκριβῶς ἐπισκοπουμένοις, ἡμεῖς δὲ διεξιόντες τοὺς λόγους πλῆθος ἰάμβων ἐσημειωσάμεθα.* — v. 100. 209. 218.

*μικτός:* **142.** Dion. Hal. Dem. 8: *τοιαύτην δὴ καταλαβὼν τὴν πολιτικὴν λέξιν ὁ Δημοσθένης οὕτω κεκινημένην ποικίλως καὶ τηλικούτοις ἐπεισελθὼν*



Universitäts- und
Landesbibliothek Düsseldorf

ἀνδράσιν ἑνὸς μὲν οὐθενὸς ἠξίωσε γενέσθαι ζηλωτὴς οὔτε χαρακτῆρος οὔτε ἀνδρός, ἡμιέργους τινὰς ἅπαντας οἰομένους εἶναι καὶ ἀτελεῖς, ἐξ ἁπάντων δ' αὐτῶν ὅσα κράτιστα καὶ χρησιμώτατα ἦν ἐκλεγόμενος συνύφαινε καὶ μίαν ἐκ πολλῶν διάλεκτον ἀπετέλει, μεγαλοπρεπῆ λιτήν, περιττὴν ἀπέριττον, ἐξηλλαγμένην συνήθη, πανηγυρικὴν ἀληθινήν, αὐστηρὰν ἱλαράν, σύντονον ἀνειμένην, ἡδεῖαν πικράν, ἠθικὴν παθητικήν, οὐδὲν διαλλάττουσαν τοῦ μεμυθευμένου παρὰ τοῖς ἀρχαίοις ποιηταῖς Πρωτέως, ὃς ἅπασαν ἰδέαν μορφῆς ἀμογητὶ μετελάμβανεν (inde Schol. Demosth. XXI, p. 551, 6 *Di.*). . . . ἐγὼ μὲν ⟨δὴ⟩ τοιαύτην τινὰ δόξαν ὑπὲρ τῆς Δημοσθένους λέξεως ἔχω καὶ χαρακτῆρα τοῦτον ἀποδίδωμι αὐτῷ τὸν ἐξ ἁπάσης μικτὸν ἰδέας. — **143.** Dion. Hal. Dem. c. 43: δεδειγμένης δή μοι τῆς αἱρέσεως τοῦ ῥήτορος ταύτης ἤδη τις παρ' ἑαυτῷ σκοπείτω τὰ λεχθέντα, ὅτι τοιαῦτ' ἐστίν, ἐνθυμούμενος μὲν ὅσα σεμνῶς κατεσκεύασται τῷ ἀνδρὶ καὶ αὐστηρῶς καὶ ἀξιωματικῶς, ἐνθυμούμενος δὲ ὅσα τερπνῶς καὶ ἡδέως. εἰ δὲ κἀνταῦθα δόξει τι δεῖν [ἡ πίστις] ἀποδείξεως, ὅν τινα βούλεται τῶν λόγων αὐτοῦ προχειρισάμενος καὶ ἀφ' οὗ βούλεται μέρους ἀρξάμενος καταβαινέτω τε καὶ σκοπείτω τῶν λεγομένων ἕκαστον, εἰ τὰ μὲν ἀναβεβλημένας ἔχει τὰς ἁρμονίας καὶ διεστώσας, τὰ δὲ προσκολλώσας καὶ συμπεπυκνωμένας καὶ τὰ μὲν ἀποτραχύνει τε καὶ πικραίνει τὴν ἀκοήν, τὰ δὲ πραΰνει καὶ λεαίνει, καὶ τὰ μὲν εἰς πάθος ἐκτρέπει τοὺς ἀκούοντας, τὰ δ' εἰς ἦθος ὑπάγεται, τὰ δ' ἄλλας τινὰς ἐργάζεται καὶ πολλὰς διαφορὰς παρ' αὐτὴν τὴν σύνθεσιν. — **144.** Dion. Hal. Dem. c. 43: καὶ τἆλλα δὲ τὸν αὐτὸν ἅπαντα κατεσκεύασται τρόπον . . . οὐ μόνον δὲ αἱ τῶν ὀνομάτων συζυγίαι τὴν μικτὴν ἁρμονίαν λαμβάνουσι παρ' αὐτῷ καὶ μέσην, ἀλλὰ καὶ τῶν κώλων κατασκευαί τε καὶ συνθέσεις καὶ τὰ τῶν περιόδων μήκη τε καὶ σχήματα καὶ οἱ περιλαμβάνοντες αὐτάς τε καὶ τὰ κῶλα ῥυθμοί. — v. 134. 173.

*μισοβάρβαρον:* v. 69.

*μονότονος:* **145.** περὶ ὕψ. 34, 2: οὐ πάντα (Ὑπερείδης) ἑξῆς καὶ μονοτόνως, ὡς ὁ Δημοσθένης, λέγει.

*μουσικός:* **146.** Dion. Hal. Dem. c. 48: ὁπότε δὲ τῆς ἑτέρας αὐτῷ φανείη δεῖσθαι συνθέσεως ἡ λέξις, πάντα ταῦτα (sc. μέλος, ῥυθμὸν, μεταβολὴν) κατεβίβαζεν ἐπὶ τὸ μουσικώτερον.

*νόημα:* v. 8. 23. 32. 218.

*ξένος, ξενοπρεπής:* v. 203. 215.

*ὄγκος:* **147.** Johannes Chrys. de sacerdotio XLVIII, p. 669 *M.*: . . . τὸν Δημοσθένους ὄγκον. — 91.

*οἰκονομία:* **148.** Dion. Hal. Isaeus c. 14: εἰρηκὼς δὲ καὶ περὶ πραγμάτων, ὅτι (Ἰσαῖος) δεινότερός ἐστιν οἰκονομῆσαι Λυσίου καὶ ὅλους τοὺς λόγους καὶ τὰ μέρη αὐτῶν καὶ οὐδὲν ἔξω ποιῶν τῆς τέχνης, ᾗ μετὰ ταῦτα πολλῇ ὁ Δημοσθένης ἐχρήσατο. — **149.** Nicephorus Gregoras hist. Byz. VIII, p. 335 *M.*: τίνας γὰρ οὐκ ἂν ὑπερβέβηκας, Δημοσθένεις, τῇ τῆς δημηγορίας οἰκονομίᾳ τε καὶ δεινότητι. — v. 102. 182. 218. 219.

*ὀνόματα:* v. 3. 32. 49. 85. 86. 90. 102. 127. 170. 192. 193. 219. — cf. 215 *(ὀνομασία)*.

*ὁρμή:* v. 53. — cf. impetus.

*πάθος, παθητικός:* **150.** Dion. Hal. Dem. c. 22: ὅταν δὲ ⟨τῶν⟩ Δημοσθένους τινὰ λάβω λόγον, ἐνθουσιῶ τε καὶ δεῦρο κἀκεῖσε ἄγομαι, πάθος ἕτερον ἐξ ἑτέρου μεταλαμβάνων, ἀπιστῶν, ἀγωνιῶν, δεδιώς, καταφρονῶν, μισῶν, ἐλεῶν, εὐνοῶν, ὀργιζόμενος, φθονῶν, ἅπαντα τὰ πάθη μεταλαμβάνων, ὅσα κρατεῖν πέφυκεν ἀνθρωπίνης γνώμης . . . ὅπου γὰρ ἡμεῖς οἱ τοσοῦτον ἀπηρτημένοι τοῖς χρόνοις καὶ οὐθὲν πρὸς τὰ πράγματα πεπονθότες οὕτως ὑπαγόμεθα καὶ κρατούμεθα καὶ ὅποι ποτ' ἂν ἡμᾶς ὁ λόγος ἄγῃ, πορευσόμεθα,

Universitäts- und
Landesbibliothek Düsseldorf

πῶς τότε Ἀθηναῖοί τε καὶ οἱ ἄλλοι Ἕλληνες ἤγοντο ὑπὸ τοῦ ἀνδρὸς ἐπὶ τῶν ἀληθινῶν τε καὶ ἰδίων ἀγώνων, αὐτοῦ λέγοντος ἐκείνου τὰ ἑαυτοῦ μετὰ τῆς ἀξιώσεως, ἧς εἶχε, τὴν αὐτοπάθειαν καὶ τὸ παράστημα τῆς ψυχῆς ἀποδεικνυμένου. — **151.** [Plutarchus] De vitis X orat. 10, 9; p. 850 *E.* (Caecil. Cal. fr. 149 *Of.*): *(Δείναρχος)* ζηλωτὴς δὲ ἐγένετο Ὑπερείδου ἢ ὥς τινες διὰ τὸ παθητικὸν Δημοσθένους καὶ τὸ σφοδρόν, τῶν σχημάτων δ' αὐτοῦ μιμητὴς ὑπάρχει. — v. 51. 62. 67. 69. 72. 109. 124. 129. 142. 143. 168. 182. 212. 229.

παιδιά: **152.** Plutarchus Dem. et. Cic. comp. c. 1: ὁ μὲν γὰρ Δημοένης *(-ους?)* ἔξω παντὸς ὡραϊσμοῦ καὶ παιδιᾶς εἰς δεινότητα καὶ σπουδὴν συνηγμένος οὐχ ἐλλυχνίων ὄδωδεν, ὥσπερ ὁ Πυθέας ἔσκωπτεν, ἀλλ' ὑδροποσίας καὶ φροντίδων καὶ τῆς λεγομένης πικρίας τοῦ τρόπου καὶ στυγνότητος . . . τῷ δὲ Δημοσθένους ἀεί τις ἐπῆν σπουδὴ καὶ τὸ φροντιστικὸν τοῦτο καὶ σύννουν οὐ ῥᾳδίως ἀπέλειπεν· ὅθεν καὶ δύσκολον αὐτὸν οἱ ἐχθροὶ καὶ δύστροπον, ὡς αὐτὸς εἴρηκεν ἀπεκάλουν προδήλως. cf. etiam ἀστεϊσμός, γελοῖος, χάρις.

πανηγυρικός: v. 32. 142.

παράβακχος: v. 209.

παραβολή: v. 69.

παράδειγμα: v. 24.

παρατροπαί: v. 69.

παραφράζειν: **153.** Theon Progymn. II, p. 63 sq. *Sp.* (Caecil. Cal. fr. 166 *Of.*): ἀλλὰ μὴν καὶ αὐτὸς ὁ Δημοσθένης πολλάκις ἑαυτὸν παραφράζει, οὐ μόνον τὰ ἐν ἄλλοις λόγοις αὐτῷ εἰρημένα ἀλλαχόσε μεταφέρων, ἀλλὰ καὶ ἐν ἑνὶ λόγῳ πολλάκις φαίνεται ταὐτὰ μυριάκις εἰρηκώς, τῇ δὲ τῆς ἑρμηνείας ποικιλίᾳ λανθάνει τοὺς ἀκούοντας. — v. 8.

παρίσωσις: v. 198.

περιβολή: **154.** Hermogenes περὶ ἰδεῶν α' II, p. 270 sq. *Sp.*: ἀκριβῶς μὲν διὰ πάντων τῶν ἑνὸς εἴδους εἰργασμένων λόγον, οἷον ἐννοίας μεθόδου λέξεως καὶ τῶν λοιπῶν (sc. σχήματος, κώλου, συνθήκης, ἀναπαύσεως, ῥυθμοῦ) σφόδρα χαλεπόν, μᾶλλον δὲ ἀδύνατον εὑρεῖν παρά τινι τῶν ἀρχαίων, τῷ δὲ πλεονάζειν τοῖς ἰδίοις ἑκάστης ἰδέας τὸ τοιόνδε ἢ τοιόνδε ἕκαστον αὐτῶν εἶναι συμβέβηκεν, ἐξαίρω μέντοι τοῦ λόγου τὸν ῥήτορα. οὐ γὰρ κατὰ ταὐτὰ ἐκείνοις μιᾷ τινι τῶν προειρημένων πλεονάσας ἰδέᾳ καὶ αὐτός, ἀλλὰ μέρει μέν τινι, μᾶλλον μὲν εἴδει μιᾶς πλείονι χρησάμενος τῶν λοιπῶν, λέγω τῇ περιβολῇ (διότι δὲ τοῦτο πεποίηκεν, εν τῷ Περὶ μεγέθους ἡμῖν καὶ τῆς περιβολῆς αὐτῆς ἀκριβῶς λελέξεται), ἀλλ' . . . τὰ ὑψηλὰ σφόδρα καὶ λαμπρὰ τῶν νοημάτων μεθόδοις τισὶν ἢ σχήμασιν ἤ τινι τῶν ἄλλων καθαιρῶν, τὰ δ' αὖ μικρὰ καὶ λεπτὰ διὰ τῶν αὐτῶν τούτων ἐγείρων καὶ ὀρθῶν ἕκαστα τῶν ἄλλων . . . (sequitur 174). — **155.** Johannes Sic. Σχολ. εἰς ἰδ. VI, p. 132 *W.*: διὰ πάντων (τῶν ὀκτὼ τούτων) ποικίλως καὶ συμμιγῶς καὶ εὐκρατῶς οὐδεὶς (τὸν λόγον ἐξύφαινεν) πλὴν Δημοσθένους. οὗτος γὰρ οὐχ ὁμοίως τοῖς ἄλλοις τοῖς τινος ἰδέας μέρεσιν ἐπλεόνασε, πλὴν μόνῃ τῇ περιβολῇ. — v. 111.

περιγραφή: v. 54.

περίεργος: **156.** Aeschines III, 172: *(Γύλωνος)* τὴν ἑτέραν (θυγατέρα) ἔγημε παριδὼν τοὺς τῆς πόλεως νόμους Δημοσθένης ὁ Παιανεύς, ἐξ ἧς ὑμῖν ὁ περίεργος καὶ συκοφάντης Δημοσθένης γεγένηται. — **157.** Aeschines III, 229: ὅταν δὲ ἄνθρωπος ἐξ ὀνομάτων συγκείμενος καὶ τούτων πικρῶν καὶ περιέργων, ἔπειτ' ἐπὶ τὴν ἁπλότητα καὶ τἄργα καταφεύγῃ, τίς ἂν ἀνάσχοιτο; — **158.** Dion. Hal. Dem. c. 56: τὰ δ' αὐτὰ καὶ περὶ τῆς περιέργου λέξεως ἔχοι τις ἂν εἰπεῖν πρὸς τὸν Αἰσχίνην, ἐπειδὴ καὶ ταύτην αὐτοῦ χλευάζει τὴν ἀρετήν . . . εἰ μὲν οὖν τὴν ἀκαιρίαν ἢ τὸν πλεονασμὸν τῆς ἐξηλλαγ-



Universitäts- und
Landesbibliothek Düsseldorf

μένης ἑρμηνείας διασύρων καὶ ταῦτα εἰρηκεν, ὡς τοῦ Δημοσθένους περὶ ἑκάτερον αὐτῶν ἁμαρτάνοντος, ψεύδεται περιφανῶς. ὁ γὰρ ἀνὴρ ἐν μὲν ταῖς δημηγορίαις καὶ τοῖς δημοσίοις ἀγῶσι πρὸς τὸ μέγεθος καὶ τὸ ἀξίωμα τῶν ὑποθέσεων ἀποβλέπων, κέχρηται τῇ τοιαύτῃ κατασκευῇ πολλάκις, ἐν δὲ τοῖς ἰδιωτικοῖς λόγοις, οὓς περὶ μικρῶν συμβολαίων ἰδιώταις ἀνθρώποις γέγραφε, τὴν κοινὴν καὶ συνήθη λέξιν ἐπιτηδεύει, σπανίως δέ ποτε τὴν περιττὴν καὶ οὐδὲ ταύτην ἐπ' αὐτοφώρῳ, ἀλλ' ὥστε λαθεῖν. εἰ δὲ κἀνταῦθα τῷ γένει τῆς ἐξαλλαγῆς ὅλῳ πολεμῶν, ταῦτ' εἴρηκεν Αἰσχίνης, ἄτοπόν τι ποιεῖ πράγμα, ταύτην διασύρων τὴν δεινότητα, ἧς πλείστης τῷ ῥήτορι δεῖ . . . ταῦτα μὲν οὖν ἐγκώμια τῆς Δημοσθένους δεινότητος ὄντα ὡς ἁμαρτήματα φέρων Αἰσχίνης οὐκ ἀληθῶς μέν, εὐλόγως δ' ἴσως, ἐχθρὸς ὢν καὶ οὐδὲν ἄλλο διαβάλλειν δυνάμενος, ἀπερισκέπτως, ὡς ἐγὼ κρίνω, συκοφαντεῖ. — **159.** Plutarchus Praec. rei publ. ger. 6, 1; p. 802*e*: ὁ μέντοι λόγος ἔστω τοῦ πολιτικοῦ μήτε νεαρὸς καὶ θεατρικὸς . . . μήτ' αὖ πάλιν, ὡς ὁ Πυθέας τὸν Δημοσθένους ἔλεγεν, ἐλλυχνίων ὄζων καὶ σοφιστικῆς περιεργίας ἐνθυμήμασι πικροῖς καὶ περιόδοις πρὸς κανόνα καὶ διαβήτην ἀπηκριβωμένος. — v. 167. 193.

περίοδος: **160.** Dion. Hal. Dem. c. 43: τῶν δὲ περιόδων αἱ μέν εἰσιν εὐκόρυφοι καὶ στρογγύλαι, ὥσπερ ἀπὸ τόρνου, αἱ δὲ ὕπτιαί τε καὶ κεχυμέναι καὶ οὐκ ἔχουσαι τὰς βάσεις περιττάς· μήκει δὲ αἱ μὲν ἐλάττους, ὥστε συμμετρεθῆναι πρὸς ἀνδρὸς πνεῦμα, αἱ δὲ πολλῷ μείζους, οἷαι καὶ μέχρι τῆς τετάρτης ἀναπαύσεως προελθοῦσαι τότε λήγειν εἰς πέρας. — **161.** Photius cod. 265, p. 492*a* (Caecil. Cal. fr. 144 *Of.*): τὸ μὲν οὖν μηδενὸς φείδεσθαι συνθέσεως, ἀλλὰ πάντα διειλῆφθαι περιόδοις ἔστι μὲν Ἰσοκράτους καὶ Λυσίου πρὸς Δημοσθένην κοινόν· ἡ δὲ κατὰ τὰς περιόδους ἐν τοῖς μεγέθεσι ποικιλία συμπληροῦσα τὰ κῶλα λαμβανομένη τὴν πρὸς ἐκείνους διαφορὰν ἀπεργάζεται, τοῦ μὲν Ἰσοκράτους ὡς τὰ πολλὰ μηκύνοντος τὴν ἐργασίαν αὐτῶν, τοῦ δὲ Λυσίου συντέμνοντος, ἐξ ἑκατέρου δὲ τούτων τῷ Δημοσθένει τὸ πρέπον διασῴζεται. — v. 159. 201. 232 (comprehensio).

περιουσία: **162.** Sopater schol. εἰς στάσ. IV, p. 414 *W.*: ἰστέον δέ, ὅτι ταῦτα οὐδὲ κεφάλαιά τινες ἀξιοῦσι καλεῖν, ἀλλ' ἐνθυμήματα ἐκ τῆς Δημοσθενικῆς δεινότητος καὶ περιουσίας ἐφευρημένα. — v. 51.

περίτρανον: **163.** Philodemus vol. rhet. I, p. 336 sq. Sudh.: οὐ γὰρ ο⟨ἶδ⟩αμεν οὐδ' ⟨ἐπ⟩ε⟨γνώ⟩καμεν ⟨πρ⟩ὸ Περικλέους καὶ ⟨Καλλ⟩ιστράτου καὶ Δημοσθένους καὶ τῶν ὁμοίων περίτρανον, εἰ μὴ τ⟨ὴ⟩ν δεινό⟨τ⟩ητ⟨α⟩ ⟨πε⟩ρίτραν⟨ον λέ⟩ξε⟨ι⟩ κα⟨ὶ⟩ λέγ⟨ετ⟩αι δεινῶν . . .

περιττός: **164.** Aeschines I, 119: ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις Δημοσθένης . . . — **165.** Aeschines II, 114: ὁ γὰρ περιττὸς κἀν τοῖς λόγοις δεινὸς Δημοσθένης οὐδενὸς τῶν ἀναγκαίων ἐμνήσθη. — v. 122. 142. 158. 160. 192. 215.

πικρός: **166.** Dion. Hal. Din. c. 1 (Demetrius Magnes fr. 52 Scheuerl): ἡ δὲ λέξις ἐστὶ τοῦ Δειναρχου κυρίως ἠθική, πάθος κινοῦσα, σχεδὸν τῇ πικρίᾳ μόνον καὶ τῷ τόνῳ τοῦ Δημοσθενικοῦ χαρακτῆρος λειπομένη, τοῦ δὲ πιθανοῦ καὶ κυρίου μηδὲν ἐνδέουσα. — **167.** Dion. Hal. Dem. c. 55–57: ἃ δέ γε Αἰσχίνης περὶ αὐτοῦ γράφει συκοφαντῶν, . . . τοτὲ μὲν ὡς πικροῖς καὶ περιέργοις ὀνόμασι χρωμένου, τοτὲ δὲ ὡς ἀηδέσι καὶ φορτικοῖς, ῥᾳδίας ἔχει τὰς ἀπολογίας. εἰ γέ τοι βουληθείη τις χωρὶς ἕκαστον τῶν ἐγκλημάτων σκοπεῖν, τὰ μὲν ἐπαίνου μᾶλλον ἢ κατηγορίας ἄξια εὑρήσει, τὰ δ' οὐκ ἀληθῶς εἰρημένα ὑπ' αὐτοῦ. τὸ μὲν γὰρ πικραίνειν τὴν διάλεκτον, ὅταν ἀπαιτῶσιν οἱ καιροὶ (πολλάκις δὲ ἀπαιτοῦσι καὶ μάλιστα ἐν τοῖς παθητικοῖς τῶν ἐπιχειρημάτων), ἐγκώμιόν ἐστι τοῦ ῥήτορος, εἴ γε δὴ τὸ ποιεῖν τὸν ἀκροατὴν αὐστηρὸν τῶν νόμων φύλακα καὶ πικρὸν ἐξεταστὴν τῶν ἀδικημάτων

Universitäts- und
Landesbibliothek Düsseldorf

καὶ τιμωρὸν ἀπαραίτητον τῶν παρανομούντων παρὰ τῆς ῥητορικῆς δυνάμεως ἢ μόνον ἢ μάλιστα ἀπαιτοῦμεν . . . εἰ μὲν οὖν μὴ κατὰ τὸν οἰκεῖον καιρὸν τῇ πικραινούσῃ διαλέκτῳ χρώμενον ἀπεδείκνυεν αὐτὸν ἢ πλεονάζοντα ἐν αὐτῇ καὶ τῆς ποσότητος ἀστοχοῦντα, εἰκότως ἂν ὡς ἁμαρτάνοντα διέβαλλεν. ὃ δὲ τούτων μὲν οὐδέτερον ἔχει δεικνύναι, κοινῶς δὲ διαβάλλει τὴν παθητικὴν διάλεκτον, οὖσαν ἐπιτηδειοτάτην εἰς πολιτικοὺς παραλαμβάνεσθαι λόγους, λελῃθότα ἐγκώμια μεταφέρων εἰς τὰς κατηγορίας, ὥσπερ ἔφην. — **168.** Isidorus Pelus. Epist. II, 146: ἐπεὶ . . . (ὁ λόγος) τοῦ ῥήτορος πολύς, ἅτε ἐν τῷ πικρῷ τε καὶ δεινῷ καὶ παθητικῷ καὶ ἐναγωνίῳ καὶ πολὺ τὸ ἐξηλλαγμένον ἔχοντι κατὰ τὰς νοήσεις καὶ τὰς λέξεις ἅπαντας ὑπερβαλλομένου . . . — v. 31. 62. 109. 124. 142. 143. 152. 157. 159. 193. 197. 203.

πλαγιασμός: **169.** Photius Bibl. cod. 265, p. 491 *b* (Caecil. Cal. fr. 144 *Of.*): μαρτυρία δὲ τοῦ Δημοσθενικὸν εἶναι τὸν λόγον καὶ ὁ πλαγιασμὸς καὶ ἡ συνέχεια τῶν περιόδων καὶ ἡ εὐτονία· ἐξ αὐτοῦ γὰρ τοῦ προοιμίου τούτοις ὁ λόγος διαποικίλλεται. — v. 74. 84.

πλάσμα: v. 123. 131.

πλεονασμός: **170.** Dion. Hal. Dem. c. 58: ἤδη δέ που κἀκεῖνό τινες οἳ μὲν ὡς χαρακτηρικὸν, οἳ δ' ὡς ἁμάρτημα τοῦ ῥήτορος ἐσημειώσαντο, λέγω δὲ τὸ πολλοῖς ὀνόμασι τὸ αὐτὸ πρᾶγμα δηλοῦν ἐνίοτε δή . . . (sequuntur exempla) . . . ὅσοι μὲν οὖν ἰδίωμα τοῦ χαρακτῆρος αὐτὸ ἀποφαίνουσι τοῦ Δημοσθένους ὀρθῶς λέγουσι. κέχρηται γὰρ αὐτῷ χρησίμως ὁ ἀνὴρ, ὥσπερ καὶ τῇ τμητικῇ [καὶ τῇ] βραχυλογίᾳ πάντων γε μᾶλλον καὶ εὐκαιρότερον· ὅσοι δ' ἐν ἁμαρτήματος αὐτὸ μοίρᾳ φέρουσι, τὰς αἰτίας οὐκ ἐξητακότες, δι' ἃς εἰώθει πλεονάζειν ἐνίοτε ἐν τοῖς ὀνόμασιν, οὐ δεόντως αὐτοῦ κατηγοροῦσιν, ἀλλ' ἐοίκασιν οἱ τοῦτο συκοφαντοῦντες τὴν βραχυλογίαν ἐκ παντὸς ἀπαιτεῖν, ἥν, ὅπερ εἶπον, παντὸς μᾶλλον καὶ εὐκαιρότερον παρέχεται, τῶν δὲ ἄλλων ἀρετῶν οὐδεμίαν, οὐκέτι συνορῶντες, ὅτι καὶ τῆς σαφηνείας δεῖ στοχάζεσθαι τὸν ῥήτορα καὶ τῆς ἐναργείας καὶ τῆς αὐξήσεως καὶ τῆς περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων εὐρυθμίας, ὑπὲρ ἅπαντα δὲ ταῦτα τοῦ παθητικὴν καὶ ἠθικὴν καὶ ἐναγώνιον ποιεῖν τὴν λέξιν, ἐν οἷς ἐστιν ἡ πλείστη τοῦ πιθανοῦ μοῖρα, τούτων δὲ τῶν ἀρετῶν ἑκάστην οὐχ ἡ βραχυλογία κράτιστα δύναται ποιεῖν, ἀλλὰ καὶ ὁ πλεονασμὸς ἐνίων ὀνομάτων, ᾧ καὶ ὁ Δημοσθένης κέχρηται.

πλῆθος λόγων: v. 50. — cf. copiosus.

πνεῦμα: **171.** Schol. ad Dem. orat. XVII, 211, 1, p. 254, 5 *Di.* (Caecil. Cal. fr. 139 *Of.*): οὐδὲ τὸ πνεῦμα φαμὲν Δημοσθενικόν. — v. 124.

ποίημα, ποιητικός: **172.** Dion. Hal. De compos. verb. c. 25: ἄρξομαι δὲ πρῶτον ἀπὸ τῆς ψιλῆς λέξεως, ἕνα τῶν ἀνδρῶν προχειρισάμενος, ὃν ἐν τοῖς μάλιστα οἶμαι τὴν ποιητικὴν ἐκμεμάχθαι φράσιν . . . φέρε δὴ τίς οὐκ ἂν ὁμολογήσειεν τοῖς κρατίστοις ἐοικέναι ποιήμασί τε καὶ μέλεσι τοὺς Δημοσθένους λόγους, καὶ μάλιστα τάς τε κατὰ Φιλίππου δημηγορίας καὶ τοὺς δικανικοὺς ἀγῶνας τοὺς δημοσίους; Locum afferunt Maximus Plan. VI, p. 445 *W.* et Johannes Sic. VI, p. 103 *W.* — v. 90. 138. 203.

ποικίλος: **173.** Hermogenes περὶ ἰδ. α' II, p. 266 sqq. *Sp.*: ἀνάγκη προχειρισαμένους ἡμᾶς τὸν μάλιστα τῶν ἄλλων ποικίλως χρησάμενον τῷ λόγῳ (Δημ.) καὶ σχεδὸν ἐξ ἁπάσης ἰδέας συμμιγεῖ, διὰ τούτου περὶ ἁπασῶν εἰπεῖν τῶν ἰδεῶν . . , ἔστιν οὖν ὁ μάλιστα παρὰ τοὺς ἄλλους τοῦτον μεταχειρισάμενος τὸν τρόπον τὰ περὶ τοὺς λόγους καὶ καταποικίλας τὸν αὐτοῦ διηνεκῶς οὐκ ἄλλος τις κατ' ἐμὴν δόξαν ἢ Δημοσθένης . . . ὁ τοίνυν Δημοσθένης, ὅτιπερ κεφάλαιον ἦν, τὸν πολιτικὸν (λόγον) ἠκριβωκὼς τὸ μὲν ὡς διὰ πάντων ἥκει πανταχοῦ ταῖς μίξεσι, μήθ' ὅτε συμβουλεύει πάντη χωρίζων τοῦ δικανικοῦ τε καὶ πανηγυρικοῦ τὸν λόγον αὐτοῦ, μήθ' ὅτε τι τῶν ἄλλων

Universitäts- und
Landesbibliothek Düsseldorf

ποιεῖ, τὰ λοιπὰ ἀφιείς, τάχα ἂν οὐ τῶν σφόδρα γένοιτο χαλεπῶν εὑρεῖν τοῖς οὐχ ἁπλῶς αὐτὸν μετιοῦσιν. — **174.** Hermogenes περὶ ἰδ. α' II, p. 271 *Sp.*: ... καὶ ταῦτα μιγνὺς τοῖς οὐκ οἰκείοις οὐδὲ ἰδίοις αὐτῶν μέρεσι καὶ καταποικίλλων οὕτω τὸν λόγον αὐτοῦ πάντα πεποίηκεν ἁρμόττειν αὐτοῖς καὶ τὸ ὅλον ἓν εἶναι πασῶν αὐτῷ δι' ἀλλήλων ἡκουσῶν τῶν ἰδεῶν, ὥστ' ἐξ ἁπάντων τῶν καλῶν ἓν τοῦτο κάλλιστον εἶδος ἀπειργάζεσθαι λόγων, τὸ Δημοσθενικόν ... — **175.** Maximus Plan. προλεγ. τῶν ἰδ. V, p. 438 *W.*: οὗτος γὰρ ποικίλος μάλιστα ὁ ῥήτωρ. — v. 99. 102. 116. 122. 127. 129. 133. 153. 155. 169. 194. 201.

πολιτικός: **176.** Philodemus vol. rhet. II, p. 231 sq. *S.*: καὶ ⟨τὸν Δημοσθ⟩ένην καὶ Λυκοῦργο⟨ν καὶ⟩ Δημάδην πολιτι⟨κού⟩ς. — **177.** Philodemus vol. rhet. II, p. 234 *S.*: εἰ δὲ λέγονται ῥήτορες ⟨καὶ ὅσοι⟩ περὶ Μ⟨ᾶ⟩τριν ⟨ἦσαν, ὡς ἔλε⟩γεν, οὐκ ὤφειλ⟨ε τοὔνομα τι⟩θέναι τοῖς πολιτ⟨ικοῖς ἀλλ⟩ὰ τοῖς ἐκ θατέρ⟨ου, ὡς κᾶ⟩ν ῥήτορας τοὺς περὶ ⟨Δη⟩μοσθένην καὶ Καλλί⟨σ⟩τρατον, οἳ λέγονται τὴν πολιτικὴν κεκτῆσθαι δύναμιν, ἀξι⟨ώσαιμε⟩ν ⟨εἰπεῖν, ὧν⟩ κα⟨ὶ ἐν ἄλλῳ μέρει ἐπε⟩μνήσ⟨θημεν⟩; — **178.** Philodemus vol. rhet. II, p. 244 *S.*: ⟨τῶν Ἑ⟩λλήν⟨ων⟩ ἡ ⟨συνήθεια⟩ Δημοσθένην ⟨καὶ Καλλίσ⟩τρατον καὶ ⟨τοὺς ὁμοίους⟩ οὐ ⟨μᾶ⟩λλον ⟨προσαγορεύει π⟩ολιτι⟨κοὺς ἢ ῥήτορας, καὶ ὅ⟩τι ῥή⟨τορας καὶ πολιτ⟩ικούς, ⟨τοὺς δ' ἐπιδείξεις⟩ καὶ λό⟨γ⟩ου⟨ς χαριεστέρ⟩ους ἐ⟨κ⟩εί⟨νων⟩ λέγο⟨ν⟩τας οὐ καλεῖ ῥήτορας ὁμοειδῶς τούτοις, ἀλλ' εἴ ποτ' ἄρα κα⟨τ⟩ά τινα κοινότα⟨τ⟩ον προλήψεω⟨ς τ⟩ρό⟨πον⟩. — **179.** Hermogenes περὶ ἰδ. β' II, p. 398 *Sp.*: τίς δὲ ἡ ἀρίστη μῖξις αὐτῶν (sc. ἰδεῶν) καὶ τίς ὁ κράτιστος τῶν λόγων τῶν πολιτικῶν; ὅτι μὲν ὁ Δημοσθενικὸς οὐδεὶς ἀμφιβάλλει δήπουθεν ... ἄριστός τε γὰρ πολιτικῶν λόγων ὁ Δημοσθενικός, ὅ τε αὖ Δημοσθενικὸς λόγος τῶν πολιτικῶν ἄριστος. — **180.** [Plutarchus] Vitae X. orat. 5, 6, p. 839 f. (Caecil. Cal. fr. 125 *Of.*): Πρῶτος δὲ καὶ (sc. Ἰσαῖος) σχηματίζειν ἤρξατο καὶ τρέπειν ἐπὶ τὸ πολιτικὸν τὴν διάνοιαν· ὃ μάλιστα μεμίμηται Δημοσθένης. Sim. Photius Bibl. cod. 263, p. 490 *a*. — v. 40. 173.

πολύπλοκος: **181.** Dion. Hal. Thuc. c. 53: τὰς δὲ πολυπλόκους νοήσεις καὶ πολλὰ δηλούσας ἐν ὀλίγοις καὶ διὰ μακροῦ κομιζομένας τὴν ἀκολουθίαν καὶ ἐκ παραδόξου τὰ ἐνθυμήματα φερούσας ἐζήλωσέν τε καὶ προσέθηκε τοῖς τε δημηγορικοῖς καὶ τοῖς δικανικοῖς λόγοις, ἧττον μὲν ἐπὶ τῶν ἰδιωτικῶν, δαψιλέστερον δὲ ἐπὶ τῶν δημοσίων ἀγώνων.

πραΰνω: v. 143.

πρέπον: **182.** Dion. Hal. Din. c. 6: ὁ δὲ τούτους τε καὶ τοὺς ἄλλους πάντας ὑπερβαλλόμενος Δημοσθένης, ἅπαντα μιμησάμενος καὶ πάντων τὰ κάλλιστα ἐκλεξάμενος, δῆλος μὲν καὶ τῇ φωνῇ μόνον, δῆλος δὲ καὶ τῷ καθ' ἕνα ἕκαστον λόγον πρέποντι, οὐ μὴν ἀλλὰ καὶ ⟨τῇ⟩ συνθέσει καὶ τῷ τῶν σχηματισμῶν ἀγκύλῳ καὶ τῇ οἰκονομίᾳ καὶ τῷ πάθει καὶ τὸ μέγιστον τῇ δεινότητι. — v. 127. 129. 161. 212.

πρόβλημα: **183.** Theon Progymn. II, p. 72 *Sp.*: πειρατέον τὰ μὲν φυσικὰ πλεονεκτήματα αὔξειν, τὰ δὲ ἐλλείποντα ταῖς αὐξήσεσιν ἀναπληροῦν, ἵνα δυνηθῶμεν μὴ μόνον τὰ μεγάλα προβλήματα καλῶς λέγειν, ὡς Αἰσχίνης, μηδὲ τὰ μικρὰ ὡς Λυσίας, ἀλλὰ καὶ πρὸς ἀμφότερα παρασκευὴν ἔχωμεν, ὡς Δημοσθένης.

προκατασκευή: **184.** [Dion. Hal.] τέχν. ῥητ. X, 6: ἔτι κἀκεῖνο ἁμάρτημα τὸ μηδὲν προδιοικεῖσθαι μηδὲ πρότερον ἀποδεικνύναι, εἶτα ἐπιφέρειν· ὅπερ ποιοῦσιν οἱ παλαιοὶ πολλάκις καὶ μάλιστα Δημοσθένης κατὰ μίμησιν τὴν Πλάτωνος, εἰδὼς ὅτι πολλαχοῦ προτεινόμενα τὰς κατασκευὰς ἀσθενεῖς ἔχει, προκατασκευασθέντα δὲ πιστὰ ⟨τὰ⟩ ἐπενεχθέντα φαίνεται. — **185.** Schol. ad Dem. orat. I, 80, 20 *Di.*: τοῦτο γὰρ μάλιστα ἴδιον τῆς Δημοσθένους δεινό-

Universitäts- und
Landesbibliothek Düsseldorf

*τητος τὸ προλαβεῖν ταῖς προκατασκευαῖς τὸν ἀκροατήν, ὥστε ἀδεῶς παραδέχεσθαι τὰ μέλλοντα λέγεσθαι.* — v. 102.

*προσκολλῶσαι ἁρμονίαι:* v. 143.

*προσκορές:* **186.** Schol. ad Dem. orat. XXI, 614, 9 *Di.*: *τοῦτο γὰρ ἴδιον Δημοσθένους, τὸ πολλὰς εὑρίσκειν μεθόδους, ὡς τὰ ἰσχυρὰ λέγοντα συνεχῶς φεύγειν τὸ προσκορές.* — v. 94.

*Πρωτεύς:* v. 142.

*ῥυθμός:* **187.** Dion. Hal. Dem. c. 43: *καὶ τῶν ῥυθμῶν πολλαχῇ μὲν τοὺς ἀνδρώδεις καὶ ἀξιωματικοὺς καὶ εὐγενεῖς, σπανίως δέ που τοὺς ὑπορχηματικούς τε καὶ Ἰωνικῶς [καὶ] διακλωμένους.* — **188.** Dion. Hal. De comp. verb. c. 18: *ἐν δὴ τῷ περὶ τοῦ στεφάνου λόγῳ τρία μέν ἐστιν, ἃ τὴν πρώτην περίοδον συμπληροῖ κῶλα, οἱ δὲ ταῦτα καταμετροῦντες οἵδε εἰσιν ῥυθμοί . . .* (pedes enumerantur). *τί οὖν ἐκώλυε καλὴν ἁρμονίαν εἶναι λέξεως, ἐν ᾗ μήτε πυρρίχιός ἐστι ποὺς μήτε ἰαμβικὸς μήτε ἀμφίβραχυς μήτε τῶν χορείων ἢ τροχαίων μηδείς; καὶ οὐ λέγω τοῦτο, ὅτι τῶν ἀνδρῶν ἐκείνων ἕκαστος οὐ κέχρηταί ποτε καὶ τοῖς ἀγεννεστέροις ῥυθμοῖς (κέχρηται γάρ), ἀλλ' εὖ συγκεκρύφασιν αὐτοὺς καὶ συνυφάγκασι, διαλαβόντες τοῖς κρείττοσι τοὺς χείρονας.* — v. 127. 135. 138. 144. 218.

*ῥώμη:* v. 22.

*σαφήνεια, σαφές:* **189.** Dion. Hal. Dem. c. 10: *ὥστε οὔτε τὸ σαφὲς ἐκβέβηκεν, οὗ πρώτου τοῖς ἐναγωνίοις λόγοις δεῖ, τό τε δεινὸς εἶναι δοκεῖν, ἐφ' ᾧ μάλιστα φαίνεται σπουδάζων, προσείληφε.* — v. 112. 170. 215.

*σεμνός:* **190.** Dion. Hal. Dem. c. 10: *φέρε δὴ καὶ τίνι διαλλάττει τῆς Θουκυδίδου λέξεως ἡ Δημοσθένους ἡ παρὰ τὸν αὐτὸν κατεσκευασμένη χαρακτῆρα* (sc. *σεμνόν*), *εἴπωμεν . . . οὐχὶ τῷ ποιῷ μὰ Δία· τοῦτο μὲν γὰρ ὁμοίως ἐπιτηδεύουσιν ἀμφότεροι, λέγω δὲ τὸ ἐξαλλάττειν ἐκ τοῦ συνήθους καὶ τοῖς καιροῖς. ὁ μὴ τὸ κοινόν, ἀλλὰ καὶ τὸ περιττὸν διώκειν· τῷ δὲ ποσῷ καὶ ἔτι μᾶλλον μὲν γὰρ . . ., ὁ δὲ ῥήτωρ τοῦ τε ἀρκοῦντος στοχάζεται καὶ τοὺς καιροὺς συμμετρεῖται οὐκ εἰς ἀνάθημα καὶ κτῆμα κα⟨τασκευάζων⟩ τὴν λέξιν μόνον ὥσπερ ὁ συγγραφεύς, ἀλλὰ καὶ εἰς χρῆσιν.* — v. 92. 97. 101. 104. 143. 200.

*σκοτεινόν:* v. 193.

*σκηπτός:* v. 22.

*σκῶμμα:* **191.** Plutarchus Praec. rei. publ. ger. 14, 16; p. 810 *d*: *καίτοι γε καὶ Δημοσθένης ἐν τῷ δικανικῷ τὸ λοίδορον ἔχει μόνῳ, οἱ δὲ Φιλιππικοὶ καθαρεύουσι καὶ σκώμματος καὶ βωμολοχίας ἁπάσης.* — v. 252.

*στριφνότης:* v. 119. 203. — cf. densus, strictus.

*στρογγύλος:* v. 160.

*στυγνότης:* v. 152.

*συμμιγής:* v. 155. — cf. *μικτός*.

*συμπεπυκνωμέναι ἁρμονίαι:* v. 143.

*συνακτικόν:* v. 54.

*συνεχής, συνέχεια:* v. 54. 104. 169.

*συνήθης:* v. 93. 142. 158.

*συμπλέκειν:* v. 8. 15.

*σύνθεσις:* **192.** Dion. Hal. Dem. c. 35: *φέρε δὴ . . . λέγωμεν ἤδη καὶ ⟨περὶ τῆς συνθέσεως⟩ τῶν ὀνομάτων, ᾗ κέχρηται ὁ ἀνήρ. ὅτι μὲν οὖν περιττή τίς ἐστιν ἡ τῆς λέξεως τῆς Δημοσθένους ἁρμονία καὶ μακρῷ δή τινι διαλλάττουσα τὰς τῶν ἄλλων ῥητόρων, οὐκ ἐμὸς ὁ μῦθος. ἅπαντες γὰρ εὖ οἶδ' ὅτι ταύτην αὐτῷ τὴν ἀρετὴν ἂν μαρτυρήσειαν, ὅσοι μὴ παντάπασι πολιτικῶν εἰσιν ἄπειροι λόγων.* — **193.** Dion. Hal. Dem. c. 35, p. 1064: *καὶ γὰρ (Αἰσχίνης) καινότητα ὀνομάτων καὶ ἀηδίαν καὶ περιεργίαν καὶ τὸ σκοτεινὸν δὴ τοῦτο καὶ πικρὸν καὶ ἄλλα πολλὰ τοιαῦτα προστρί-*

Universitäts- und
Landesbibliothek Düsseldorf

*βεται αὐτῷ, βασκαίνων μέν, ὥσπερ ἔφην, καὶ ταῦτα, ὅμως δ' οὖν ἀφορμάς γέ τινας τοῦ συκοφαντεῖν εὐλόγους λαμβάνων. περὶ δὲ τῆς συνθέσεως ὀνομάτων οὐδὲν οὔτε μεῖζον ⟨οὔτ' ἔλαττον⟩ ἢ καταγέλωτα φέρων. καὶ οὐχὶ τοῦτό πω θαυμάζειν ⟨ἄξιον⟩, ἀλλ' ὅτι καὶ μαρτυρῶν πολλαχῇ τὴν ἀρετὴν τῷ ῥήτορι κατάδηλός ἐστι καὶ ζηλῶν* . . . affertur Aesch. III, 229 et 142. — **194.** Dion. Hal. Din. c. 8: *(Δείν.) λείπεται δὲ Δημοσθένους . . . κατὰ δὲ τὴν σύνθεσιν τῇ ποικιλίᾳ τῶν σχημάτων καὶ τῇ ἐξαλλαγῇ.* — **195.** Photius Bibl. cod. 265, p. 492*a* (Caecil. Cal. fr. 144 *Of.*): *ἀλλὰ καὶ ἡ σύνθεσις ἐπιμελὴς καὶ τὴν ἐνάργειαν τῷ κόσμῳ διαφθείρουσα.* — v. 17. 32. 49. 102. 124. 144. 182. 231.

*συνθήκη:* v. 100. 139.

*σύντονος:* v. 142.

*συστροφή:* v. 201. 203.

*σφάλματα:* **196.** *περὶ ὕψ.* 36, 2: *τί χρὴ πρὸς τούτοις ἔτι λέγειν, ὡς ἐκείνων τῶν ἀνδρῶν ἕκαστος ἅπαντα τὰ σφάλματα ἑνὶ ἐξωνεῖται πολλάκις ὕψει καὶ κατορθώματι καί, τὸ κυριώτατον, ὡς, εἴ γε ἐκλέξας τὰ Ὁμήρου, τὰ Δημοσθένους, τὰ Πλάτωνος, ὅσοι δὴ μέγιστοι, παραπτώματα πάντα ὁμόσε συναθροίσειεν, ἐλάχιστον ἄν τι, μᾶλλον δ' οὐδὲ πολλοστημόριον ἂν εὑρεθείη τῶν ἐκείνοις τοῖς ἥρωσι πάντη κατορθουμένων.*

*σφοδρός:* **197.** Lucianus Dem. enc. 5: *τὰ Δημοσθένους ἐγγὺς τῶν Ὁμήρου τιθείς, οἷον λέγω τὴν σφοδρότητα καὶ πικρίαν καὶ τὸν ἐνθουσιασμόν* . . . — a *σφοδρότητος* notione rhetorica longe abest quod legitur **198.** apud Syrianum I, p. 64 *R.* (repet. a Maximo Plan. *Σχολ. εἰς ἰδ.* V, 514 *W.*): *ὁ δ' αὖ Δημοσθένης ὁ σφόδρα (ὡς σφοδρότερος* M. Pl.) *τεχνίτης φεύγει τὸ κεχρῆσθαι ταύταις* (sc. *παρισώσεσι*) *διακόρως;* cf. 154. — v. 41. 67. 116. 151. — cf. impetus (291).

*σφυρήλατον:* v. 89.

*σχήματα:* **199.** Dion. Hal. Thuc. c. 53: *καὶ οὐδὲ τῶν σχημάτων τὸ πεπλανημένον ἐκ τῆς κατὰ φύσιν ἀκολουθίας καὶ τὸ σολοικοφανὲς ἠγάπησεν, ἀλλ' ἐν τοῖς συνήθεσιν ἔμεινε, ταῖς μεταβολαῖς καὶ τῇ ποικιλίᾳ καὶ τῷ μηδὲν ἁπλῶς ἀσχημάτιστον ἐκφέρειν νόημα κοσμῶν τὴν φράσιν.* — **200.** Dion. Hal. Dem. c. 43: *τῶν τε σχημάτων ἔνθα μὲν ἄν τις εὕροι τὰ σεμνὰ καὶ αὐστηρὰ καὶ ἀρχαῖα πλεονάζοντα, ἔνθα δὲ τὰ λιγυρὰ καὶ γλαφυρὰ καὶ θεατρικά.* — **201.** Photius Bibl. cod. 265, p. 491*b*—492*a*: *μαρτυρεῖ (τὸν λόγον γνήσιον εἶναι) δὲ καὶ τὰ σχήματα· ἔστι γὰρ συνεστραμμένα μετὰ γοργότητος καὶ ποικιλίαν τῷ λόγῳ παρεχόμενα· καὶ γὰρ ἐρωτήσεις προβάλλεται καὶ ὑποστροφὰς καὶ τὸ ἀσύνδετον, οἷς μάλιστα Δημοσθένης χαίρει χρώμενος. ἀλλὰ καὶ ἡ σύνθεσις ἐπιμελὴς καὶ τὴν ἐνάργειαν τῷ κόσμῳ οὐ διαφθείρουσα, αἵ τε περίοδοι τῷ ἀπηρτισμένῳ συναγόμεναι καὶ τὸ πρέπον πανταχοῦ διασῴζουσι.* — v. 51. 94. 102. 114. 116. 127. 144. 151. 194. 218. 262. 263 (conformatio).

*σχηματίζειν:* v. 180.

*σχηματισμός:* v. 182.

*σώφρων:* v. 116.

*τάξις:* **202.** Johannes Sic. IV, p. 175 *W.*: *ὁ μὲν γὰρ Δημοσθένης, ὃν ἐκεῖνοι θαυμάζουσιν, πανοῦργος ὢν ἄνθρωπος καὶ δεινὸς καὶ τοῖς ἐχθροῖς ἐπικείμενος μέχρι ἀπαγωγῆς, συγχεῖ τῷ λόγῳ τὰς τάξεις τῶν προεπηγγελμένων καὶ προτεταγμένων.* — v. 102. 104.

*ταπεινός:* v. 122. 123.

*τάχος:* **203.** Dion. Hal. Thuc. c. 53: *ῥητόρων δὲ Δημοσθένης μόνος . . . Θουκυδίδου ζηλωτὴς ἐγένετο κατὰ πολλὰ καὶ προσέθηκε τοῖς πολιτικοῖς λόγοις, παρ' ἐκείνου λαβών . . . ἀρετάς, τὰ τάχη λέγω καὶ τὰς συστροφὰς καὶ τοὺς*

Universitäts- und
Landesbibliothek Düsseldorf

τόνους καὶ τὸ πικρὸν καὶ τὸ στριφνὸν καὶ τὴν ἐξεγείρουσαν τὰ πάθη δεινότητα· τὸ δὲ κατάγλωσσον τῆς λέξεως καὶ ξένον καὶ ποιητικὸν οὐχ ἡγησάμενος ἐπιτήδεια τοῖς ἀληθινοῖς ἀγῶσι παρέλιπε. — v. 22. 51. 111.

τερπνός: v. 143.

τέχνη, τεχνίτης: **204.** Philodemus vol. rhet. I, p. 27 Sudh.: οἱ γὰ⟨ρ μετὰ Δημ⟩οσ⟨θ⟩ένην ⟨πολὺ ἧτ⟩τον ἤδη ⟨κ⟩αταβε⟨βλημένων τῶ⟩ν τεχνῶ⟨ν ἴσχυον⟩. — **205.** Id. II, p. 98 Sudh.: τ⟨ὸν μὲν⟩ γὰρ Δημοσθένην πά⟨ντες κε⟩κράγασιν οἱ κατ' αὐτὸν τεχνί⟨την⟩ εἶναι καὶ Κριτόλα⟨ος οὐκ ἀπαρ⟩νεῖται. — Critolaus eloquentiam artem esse negaverat (cf. Quint. II, 17, 14; II, 15, 23; Sext. Emp. adv. math. II, 10 sqq.; Olivier De Critolao Peripatetico [Berolini 1895] p. 29 et Sudhaus, Vol. rhet. Philodemi suppl. p. 38); eundem Demostheni non favisse, colligi potest e fabulis Demostheni infestis, quas Gellius XI, 9 et 10 e Critolao mutuatus narrat (cf. Olivier, l. c. p. 33). — **206.** Dion. Hal. ad Amm. c. 1: τῶν φιλοσόφων τις τῶν ἐκ τοῦ περιπάτου πάντα χαρίζεσθαι βουλόμενος Ἀριστοτέλει τῷ κτίσαντι ταύτην τὴν φιλοσοφίαν καὶ τοῦτο ὑπέσχετο ποιήσειν φανερόν, ὅτι Δημοσθένης τὰς ῥητορικὰς τέχνας παρ' ἐκείνου μαθὼν εἰς τοὺς ἰδίους μετήνεγκε λόγους. — **207.** Dion. Hal. Isaeus c. 4: ἐμοὶ γοῦν οἱ μὲν Ἰσαίου τε καὶ Δημοσθένους λόγοι κἂν περὶ ἀληθεῖς καὶ δικαίας συνταχθῶσιν ὑποθέσεις ὕποπτοι δοκοῦσιν εἶναι τῆς πολλῆς ἐπιτεχνήσεως ἕνεκα . . . — v. 1. 91. 198.

τμητικός: v. 170.

